W. J. Alexander

ΕΥΡΙΠΙΔΗΣ

EVRIPIDIS TRAGOEDIAE

EX RECENSIONE

AVGVSTI NAVCKII

EDITIO TERTIA

VOLVMEN I

LIPSIAE
SUMPTIBUS ET TYPIS B. G. TEUBNERI.
MDCCCLXXXI.

VIRO ILLVSTRISSIMO

K. LEHRSIO

REGIMONTANO

HANC EVRIPIDIS EDITIONEM

VENERABVNDVS DEDICAVIT

AVGVSTVS NAVCK

ΓΕΝΟΣ ΕΥΡΙΠΙΔΟΥ ΚΑΙ ΒΙΟΣ.

Εὐριπίδης ὁ ποιητὴς υἱὸς ἐγένετο Μνησαρχίδου καπήλου καὶ Κλειτοῦς λαχανοπώλιδος, Ἀθηναῖος μέν, ἐγεννήθη δὲ ἐν Σαλαμῖνι ἐπὶ Καλλίου ἄρχοντος κατὰ τὴν ἑβδομηκοστὴν πέμπτην ὀλυμπιάδα, ὅτε ἐναυμάχησαν τοῖς Πέρσαις οἱ Ἕλληνες. ἤσκησε δὲ κατ' ἀρχὰς μὲν παγκράτιον ἢ πυγμήν, τοῦ πατρὸς αὐτοῦ χρησμὸν λαβόντος ὅτι στεφανηφόρους ἀγῶνας νικήσει. καὶ φασὶν αὐτὸν Ἀθήνησι νικῆσαι. ἀναγνοὺς δὲ ἐπὶ τραγῳδίαν ἐτράπη, καὶ πολλὰ προσεξεῦρε, προλόγους φυσιολογίας ῥητορείας ἀναγνωρισμούς, ὡς δὴ ἀκουστὴς γενόμενος Ἀναξαγόρου καὶ Προδίκου καὶ Πρωταγόρου, καὶ Σωκράτους ἑταῖρος. δοκεῖ δὲ αὐτῷ καὶ Σωκράτης ὁ φιλόσοφος καὶ Μνησίλοχος συμπεποιηκέναι τινά, ὥς φησι Τηλεκλείδης·

Μνησίλοχος δ' ἐκεῖνος φρύγει τι δρᾶμα καινὸν
Εὐριπίδου, καὶ Σωκράτης τὰ φρύγαν' ὑποτίθησιν.

οἱ δὲ τὰ μέλη αὐτῷ φασὶν Ἰοφῶντα ποιεῖν ἢ Τιμοκράτην Ἀργεῖον. φασὶ δὲ αὐτὸν καὶ ζωγράφον γενέσθαι καὶ δείκνυσθαι αὐτοῦ πινάκια ἐν Μεγάροις· γενέσθαι δὲ αὐτὸν καὶ πυρφόρον τοῦ Ζωστηρίου Ἀπόλλωνος· γεννηθῆναι δὲ τῇ αὐτῇ ἡμέρᾳ καὶ Ἑλλάνικον, ἐν ᾗ ἐνίκων τὴν περὶ Σαλαμῖνα ναυμαχίαν οἱ Ἕλληνες· ἄρξασθαι δὲ ἀγωνίζεσθαι γενόμενον ἐτῶν εἰκοσιέξ. μετέστη δὲ ἐν Μαγνησίᾳ καὶ προξενίᾳ ἐτιμήθη καὶ ἀτελείᾳ. ἐκεῖθεν δὲ εἰς Μακεδονίαν περὶ Ἀρχέλαον γενόμενος διέτριψε καὶ χαριζόμενος αὐτῷ δρᾶμα ὁμωνύμως ἔγραψε καὶ μάλα ἔπραττε παρ' αὐτῷ, ὅτε καὶ ἐπὶ τῶν διοικήσεων ἐγένετο. ἐλέγετο δὲ καὶ βαθὺν πώγωνα θρέψαι καὶ ἐπὶ τῆς ὄψεως φακοὺς ἐσχηκέναι· γυναῖκα δὲ γῆμαι πρώτην Μελιτώ, δευτέραν δὲ Χοιρίνην. καὶ υἱοὺς κατέλιπε τρεῖς, Μνησαρχίδην μὲν πρῶτον ἔμπορον, δεύτερον δὲ Μνησίλοχον ὑποκριτήν, νεώτατον δὲ Εὐριπίδην, ὃς ἐδίδαξε τοῦ πατρὸς ἔνια δράματα. ἤρξατο δὲ διδάσκειν ἐπὶ Καλλίου ἄρχοντος κατὰ ὀλυμπιάδα ὀγδοηκοστὴν πρώτην ἔτει πρώτῳ. πρῶτον δὲ ἐδίδαξε τὰς Πελιάδας, ὅτε καὶ τρίτος ἐγένετο. τὰ πάντα δ' ἦν αὐτῷ δράματα ϙβ', σώζεται δὲ οη'. τούτων νοθεύεται τρία, Τέννης Ῥαδάμανθυς Πειρίθους. ἐτελεύτησε δέ, ὥς φησι

Φιλόχορος, ὑπὲρ τὰ ἑβδομήκοντα ἔτη γεγονώς, ὡς δὲ Ἐρατοσθένης οε´, καὶ ἐν Μακεδονίᾳ ἐτάφη. κενοτάφιον δὲ αὐτοῦ ἐν Ἀθήνησιν ἐγένετο, καὶ ἐπίγραμμα ἐπεγέγραπτο Θουκυδίδου τοῦ ἱστοριογράφου ποιήσαντος ἢ Τιμοθέου τοῦ μελοποιοῦ·

μνῆμα μὲν Ἑλλὰς ἅπασ᾽ Εὐριπίδου· οστέα δ᾽ ἴσχει
γῆ Μακεδών, ᾗπερ δέξατο τέρμα βίου·
πατρὶς δ᾽ Ἑλλάδος Ἑλλὰς Ἀθῆναι. πολλὰ δὲ μούσαις
τέρψας ἐκ πολλῶν καὶ τὸν ἔπαινον ἔχει.

φασὶ δὲ καὶ κεραυνωθῆναι ἀμφότερα μνημεῖα. λέγουσι δὲ καὶ Σοφοκλέα ἀκούσαντα ὅτι ἐτελεύτησεν αὐτὸν μὲν ἱματίῳ φαιῷ προελθεῖν, τὸν δὲ χορὸν καὶ τοὺς ὑποκριτὰς ἀστεφανώτους εἰσαγαγεῖν ἐν τῷ προαγῶνι καὶ δακρῦσαι τὸν δῆμον. ἐτελεύτησε δὲ τὸν τρόπον τοῦτον. ἐν τῇ Μακεδονίᾳ κώμη ἔστι καλουμένη Θρᾳκῶν διὰ τό ποτε κατῳκηκέναι ἐνταῦθα Θρᾷκας. ἐν ταύτῃ ποτὲ τοῦ Ἀρχελάου Μολοττικὴ κύων ἦλθεν ἀποπλανηθεῖσα· ταύτην Θρᾷκες ὡς ἔθος θύσαντες ἔφαγον, καὶ δὴ ὁ Ἀρχέλαος ἐζημίωσεν αὐτοὺς ταλάντῳ. ἐπεὶ οὖν οὐκ εἶχον, Εὐριπίδου ἐδεήθησαν ἀπολύσεως τυχεῖν, δεηθέντος τοῦ βασιλέως. χρόνῳ δὲ ὕστερον Εὐριπίδης ἐν ἄλσει τινὶ πρὸ τῆς πόλεως ἠρέμει· Ἀρχελάου δὲ ἐπὶ κυνηγέσιον ἐξελθόντος, τῶν σκυλάκων ἀπολυθέντων ὑπὸ τῶν κυνηγῶν καὶ περιτυχόντων Εὐριπίδῃ, διεσπαράχθη καταβρωθεὶς ὁ ποιητής· ἦσαν δὲ ἔκγονοι οἱ σκύλακες τῆς ὑπὸ Θρᾳκῶν ἀναιρεθείσης κυνός, ὅθεν καὶ ἡ παροιμία ἐστὶ παρὰ τοῖς Μακεδόσι 'κυνὸς δίκη'.

φασὶ δὲ αὐτὸν ἐν Σαλαμῖνι σπήλαιον κατασκευάσαντα ἀναπνοὴν ἔχον εἰς τὴν θάλασσαν ἐκεῖσε διημερεύειν φεύγοντα τὸν ὄχλον· ὅθεν καὶ ἐκ θαλάσσης λαμβάνει τὰς πλείους τῶν ὁμοιώσεων. σκυθρωπὸς δὲ καὶ σύννους καὶ αὐστηρὸς ἐφαίνετο καὶ μισόγελως καὶ μισογύνης, καθὰ καὶ Ἀριστοφάνης αὐτὸν αἰτιᾶται· 'στρυφνὸς ἔμοιγε προσειπεῖν Εὐριπίδης'. λέγουσι δὲ αὐτὸν γήμαντα τὴν Μνησιλόχου θυγατέρα Χοιρίλην καὶ νοήσαντα τὴν ἀκολασίαν αὐτῆς γράψαι πρῶτον δρᾶμα τὸν Ἱππόλυτον, ἐν ᾧ τὴν ἀναισχυντίαν θριαμβεύει τῶν γυναικῶν, ἔπειτα δὲ αὐτὴν ἀποπέμψασθαι. λέγοντος δὲ τοῦ γήμαντος αὐτήν 'σωφρονεῖ παρ᾽ ἐμοί', 'δύστηνος εἶ' ἔφη, εἰ γυναῖκα δοκεῖς

παρ᾽ ᾧ μὲν αὐτὴν σωφρονεῖν, παρ᾽ ᾧ δὲ μή'.

ἐπιγῆμαι δὲ αὐτὸν δευτέραν, ἣν εὑρὼν ἀκολαστοτέραν προχειροτέρως εἰς τὴν κατὰ τῶν γυναικῶν βλασφημίαν ἐθρασύνετο. αἱ δὲ γυναῖκες ἐβουλήθησαν αὐτὸν κτεῖναι εἰσελθοῦσαι εἰς τὸ σπήλαιον ἐν ᾧ γράφων διετέλει. διαβάλλεται δὲ ὑπὸ φθόνου ὡς τὸν Κηφισοφῶντα εἶχε συμποιοῦντα αὐτῷ τὰς τραγῳδίας. λέγει δὲ καὶ Ἕρμιππος Διονύσιον τὸν Σικελίας τύραννον μετὰ τὴν τελευτὴν τοῦ Εὐριπίδου τάλαντον τοῖς κληρονόμοις αὐτοῦ πέμψαντα λαβεῖν τὸ ψαλτήριον καὶ τὴν δέλτον καὶ τὸ γραφεῖον, ἅπερ ἰδόντα κελεῦσαι τοὺς φέροντας ἐν τῷ Μουσῶν ἱερῷ ἀναθεῖναι ἐπιγράψαντα τοῖς αὐτοῦ καὶ Εὐριπίδου ὀνόμασι. διὸ καὶ ξενοφιλώτατον κεκλῆσθαι φασὶ διὰ τὸ μάλιστα ὑπὸ ξένων φιλεῖσθαι· ὑπὸ γὰρ Ἀθηναίων ἐφθονεῖτο. μειρακίου δέ τινος ἀπαιδευτοτέρου στόμα δυσῶδες ἔχειν ὑπὸ φθόνου αὐτὸν εἰπόντος, ‘εὐφήμει’ ἔφη· ‘μέλιτος καὶ Σειρήνων γλυκύτερον στόμα’.

ἔσκωπτε δὲ τὰς γυναῖκας διὰ τῶν ποιημάτων δι' αἰτίαν τοιάνδε. εἶχεν οἰκογενὲς μειράκιον ὀνόματι Κηφισοφῶντα· πρὸς τοῦτον ἐφώρασε τὴν οἰκείαν γυναῖκα ἀτακτοῦσαν. τὸ μὲν οὖν πρῶτον ἀπέτρεπεν ἁμαρτάνειν· ἐπεὶ δ' οὐκ ἔπειθε, κατέλιπεν αὐτῷ τὴν γυναῖκα, βουλομένου αὐτὴν ἔχειν τοῦ Κηφισοφῶντος. λέγει οὖν καὶ ὁ Ἀριστοφάνης·

Κηφισοφῶν ἄριστε καὶ μελάντατε,
σὺ δὲ ξυνέζης ὡς τὰ πόλλ' Εὐριπίδῃ
καὶ συνεποίεις ὥς φησι καὶ τὴν μελῳδίαν.

λέγουσι δὲ καὶ ὅτι γυναῖκες διὰ τοὺς ψόγους οὓς ἐποίει εἰς αὐτὰς διὰ τῶν ποιημάτων, τοῖς Θεσμοφορίοις ἐπέστησαν αὐτῷ βουλόμεναι ἀνελεῖν· ἐφείσαντο δὲ αὐτοῦ πρῶτον μὲν διὰ τὰς Μούσας, ἔπειτα δὲ βεβαιωσαμένου μηκέτι αὐτὰς κακῶς ἐρεῖν. ἐν γοῦν τῇ Μεναλίππῃ περὶ αὐτῶν τάδε φησί·

μάτην ἄρ' εἰς γυναῖκας ἐξ ἀνδρῶν ψόγος
ψάλλει, κενὸν τόξευμα, καὶ κακῶς λέγει·
αἳ δ' εἴσ' ἀμείνους ἀρσένων, ἐγὼ λέγω

καὶ τὰ ἑξῆς. οὕτω δὲ αὐτὸν Φιλήμων ἠγάπησεν ὡς τολμῆσαι περὶ αὐτοῦ τοιοῦτον εἰπεῖν·

εἰ ταῖς ἀληθείαισιν οἱ τεθνηκότες
αἴσθησιν εἶχον, ἄνδρες, ὥς φασίν τινες,
ἀπηγξάμην ἂν ὥστ' ἰδεῖν Εὐριπίδην.

Εὐριπίδης Μνησαρχίδου Ἀθηναῖος. τοῦτον οἱ τῆς ἀρχαίας κωμῳδίας ποιηταὶ ὡς λαχανοπώλιδος ἐκκωμῳδοῦσι. γενέσθαι δὲ κατ᾿ ἀρχὰς μὲν αὐτόν φασι ζωγράφον, σχολάσαντα δὲ Ἀρχελάῳ τῷ φυσικῷ καὶ Ἀναξαγόρᾳ ἐπὶ τραγῳδίας ὁρμῆσαι. ὅθεν καὶ πλέον τι φρονήσας εἰκότως περιίστατο τῶν πολλῶν οὐδεμίαν φιλοτιμίαν περὶ τὰ θέατρα ποιούμενος. διὸ τοσοῦτον αὐτὸν ἔβλαπτε τοῦτο ὅσον ὠφέλει τὸν Σοφοκλέα. ἐπέκειντο δὲ καὶ οἱ κωμικοὶ φθόνῳ αὐτὸν διασύροντες. ὑπεριδὼν δὲ πάντα εἰς Μακεδόνας ἀπῆρε πρὸς Ἀρχέλαον τὸν βασιλέα, κἀνταῦθα ὀψιαίτερον ἀναλύων ὑπὸ βασιλικῶν ἐφθάρη κυνῶν. ἤρξατο δὲ διδάσκειν κατὰ τὴν πα΄ ὀλυμπιάδα ἐπὶ ἄρχοντος Καλλίου. πλάσματι δὲ μέσῳ χρησάμενος περιγέγονε τῇ ἑρμηνείᾳ ἄκρως εἰς ἀμφότερον χρώμενος ταῖς ἐπιχειρήσεσι. καὶ τοῖς μέλεσίν ἐστιν ἀμίμητος παραγκωνιζόμενος τοὺς μελοποιοὺς σχεδὸν πάντας· ἐν δὲ τοῖς ἀμοιβαίοις περισσὸς καὶ φορτικός, καὶ ἐν τοῖς προλόγοις δὲ ὀχληρός, ῥητορικώτατος δὲ τῇ κατασκευῇ καὶ ποικίλος τῇ φράσει καὶ ἱκανὸς ἀνασκευάσαι τὰ εἰρημένα. τὰ πάντα δ᾿ ἦν αὐτῷ δράματα ϙή. σώζεται δὲ αὐτοῦ δράματα ξζ΄ καὶ γ΄ πρὸς τούτοις τὰ ἀντιλεγόμενα· σατυρικὰ δὲ η΄. ἀντιλέγεται δὲ καὶ τούτων τὸ α΄. νίκας δὲ ἔσχε ε΄.

Fontes huius vitae non habemus nisi deterioris notae codices, quorum recensum dedit Kirchhoffius. ceteris praestant Ambrosianus A 104 et Vaticanus 1345, quorum prior (A) vs. 1—43 continet, alter (B) vs. 1—43, 111—131, 44—60, 89—110. versus 61—88 extant in Vindob. 119 (F), qui his praemittit vs. 1—43 non nullis tamen omissis, subicit vs. 106—110. discrepantias librorum graviores attulisse satis habui. vs. 1 *Μνηστάρχου* A, *Μνησαρχίδου* (ει) B. 2 *Κλυτοῦς* A. 3 *Καλλίου*] rectius *Καλλιάδου*, quod Meursius hic et in Diog. L. 2, 7 iussit restitui. 5 *ἢ*] *καὶ* malim. 8 *πολλοὺς* libri, *πολλὰ* Thomas M. *λόγους* AB, *προλόγους* alii. 12 *πεποιηκέναι* B. 13 *ὁ Μνησίλοχος δ᾿ ἐκεινοσὶ* Meinekius Com. 2 p. 372, *Μνησίλοχός ἐστ᾿ ἐκεῖνος, ὃς* Dindorfius. *φρυγικόν τι* A, *φρύγειν τι* B. *φρύγει τι* Dindorfius. 14 *Εὐριπίδῃ* A. *καὶ Σωκράτης*

A, *καὶ Σωκράτου* B, *ᾧ καὶ Σωκράτης* Diog. L. 2, 18. *τὰ φρύγανα* om. A. 15 *φασὶ Κηφισοφῶντα* Welcker. *Τιμοκράτην*] an *Δημοκράτην*? vide quae infra dicentur p. XVII not. 24 *μάλ' εὖ ἔπραττε* Elmsleius. *ὅτε*] *ὥστε* malim. 26 *ἔγημε* scripserim. 26. 27 *πρώτην Μελιτώ, δευτέραν δὲ Χοιρίνην*] *πρώτην Χοιρίλην* (debebat *Χοιρίνην*), *δευτέραν δὲ Μελιτώ* scribendum coniecit Dindorfius, cf. quae Fritzschius in Aristoph. Thesm. p. 110 dixit. 27 *Χοιρίλην* A, *Χοιρίνην* B. *Μνησταρχίδην* A. 28 *μὲν πρῶτον*] *πρεσβύτερον* A, *μὲν πρεσβύτερον* alii. 29 *νεώτερος* B, *νεώτερον* ceteri, *νεώτατον* scripsi. 30 *κατὰ* om. AB. 31 verba *ἔτει πρώτῳ*, quae post *Πελιάδας* 32 legebantur, huc revocavit Elmsleius. 33 *ϙβ'*] *ϙη* B. 37 *ἐν Ἀθήνησιν*] *ἐν* melius aberit. 44 *καὶ* delendum suspicor. 47 *προγῶνι* B, *ἀγῶνι* Rossignolius. fortasse biographus *Προαγῶνα*, quae comoedia fuit Aristophanis, pro Sophoclea venditavit tragoedia. 65 *Ἀριστοφάνης*] discrepat Gellius N. A. 15, 20, 8: *Alexander autem Aetolus hos de Euripide versus composuit:*

ὁ δ' Ἀναξαγόρου τρόφιμος χαιοῦ στρυφνὸς μὲν ἔμοιγε προσειπεῖν
καὶ μισόγελως καὶ τωθάζειν οὐδὲ παρ' οἶνον μεμαθηκώς,
ἀλλ' ὅτι γράψαι τοῦτ' ἂν μέλιτος καὶ Σειρήνων ἐτετεύχει.

nec fidem Gellio denegarunt homines docti, v. Meinekii Anal. Alex. p. 247. ego non dubito quin tres tetrametri anapaestici Aristophanis sint. Gellius usus est hac ipsa quae nobis in manibus est vita, neque inde quod pleniora affert poetae verba sequitur ut de nomine poetae prae altero teste fide dignus sit. facile autem error Gellii explicari potest, ubi Alexandro Aetolo meminerimus tragoediarum dispositionem a Ptolemaeo Philadelpho fuisse mandatam. non *composuit* Alexander Aetolus versus de quibus agitur, sed *adposuit.* vs. 1 *τρόφιμος χαιοῦ* Valckenarius pro *τρόφιμος ἀρχαίου*, quod in *τρόφις ἀρχαίου* mutat Bergkius. vs. 3 *γράψειεν ἅπαν* (vel *γράψειε τὸ πᾶν*) *μέλιτος καὶ Σειρήνων ἐπεπνεύκει* scribendum arbitror. 67 *Χοιρίλην*] *Χοιρίνην* legendum. 68 *πρῶτον δρᾶμα τὸν*] *δρᾶμα τὸν πρότερον* Kirchhoffius, cuius cf. adnot. 71 sqq. *δύστηνος — δὲ μή*] v. Eur. El. 923 sq. 83 *αὐτοῦ* libri,

αὑτοῦ scripsi. 84 prius *καὶ* addidit Pflugkius. 95 *ταλάντατε* Seidler. 97 *ὥς φησὶ καὶ*] *ὥς φασι* Rossignolius. mihi *ὦ φθισικέ* vel simile quid latere videtur. adiectivo *φθισικός* Menandrum usum esse scimus Com. 4 p. 235. 105 *ἣ ἐγὼ λέγω* scripserim. 112 *ἐκκωμῳδοῦσι* scripsi, *ἐκωμῳδοῦσι* cod. 117 *τοσοῦτον* scripsi, *τοῦτον* cod. 119 *Μακεδόνας* scripsi, *Μακεδόνα* cod., *Μακεδονίαν* Kirchhoffius. 131 *ἔχει ιε* cod.

DE EVRIPIDIS VITA POESI INGENIO.

De vita Euripidis quae nobis tradita sunt nec multa nec satis certa, redeunt fere ad commentariolum supra exhibitum, qui tametsi Philochoro[1]) et antiquioribus rerum auctoribus nititur, haud magni tamen est pretii multasque fabellas refert sive a comicis poetis effictas sive vulgi ore propagatas, quas litterati homines, ut rerum inopiam compensarent, cupidius quam prudentius arripuerunt. eodem e fonte pendent Gellius N. A. 15, 20 et Suidas v. *Εὐριπίδης*, item vita ea quae secundum Aldinam Euripidis editionem Thomae Magistro a plerisque tribuitur (v. Westermanni *Βιογρ*. p. 139 sq. et Dindorfii Schol. Eurip. vol. 1 p. 11—13). recenti memoria de poetae vita et ingenio disputarunt, ne plures afferam, I. Pflugkius in praefatione Eur. vol. 1 a. 1830 et God. Bernhardy in Erschii et Gruberi Encycl. sect. I vol. 39 p. 127—167.

Natus est Euripides, siquid testium consensui tribuere licet, olymp. 75, 1 sive a. 480 ante Chr. n. archonte Calliade, die eo quo Salaminiam victoriam Graeci

---

1) Philochorus in ipsa vita Euripidis vs. 35 sicut apud Gellium et Suidam commemoratur, cf. Mülleri Fragm. Hist. vol. 1 p. 412. peculiarem *περὶ Εὐριπίδου* disputationem testatur Suidas v. *Φιλόχορος*: nihilo minus crediderim *ἐν τῷ περὶ τραγῳδιῶν* (Schol. Eur. Hec. 1) de Euripidis vita Philochorum egisse.

reportarunt, hoc est Boedromionis mensis die vicesimo[2]). quicum consentiunt quae de morte poetae ab Eratosthene et Apollodoro tradita accepimus[3]). dissentit marmor Parium, ubi Euripides *ἄρχοντος Ἀθήνησιν Φιλοκράτους* (olymp. 73, 4 sive anno 485) natus esse et *ἄρχοντος Ἀθήνησι Διφίλου* (olymp. 84, 3 sive anno 442) annum XLIII egisse dicitur[4]). pater eius aliis Mnesarchus, aliis Mnesarchides dicitur[5]), mater Clito: de quorum genere et rebus testes discrepant; plerique patrem cauponem faciunt[6]), matrem olera vendidisse narrant. et olera ma-

---

2) Praeter vitam Eur. cf. Diog. L. 2, 45: *Εὐριπίδης, ὃς καὶ τῷ πρώτῳ ἔτει τῆς ἑβδομηκοστῆς πέμπτης ὀλυμπιάδος ἐγεννήθη ἐπὶ Καλλιάδου.* Plut. Mor. p. 717 C: *Εὐριπίδου — γενομένου μὲν ἡμέρᾳ καθ' ἣν οἱ Ἕλληνες ἐναυμάχουν ἐν Σαλαμῖνι πρὸς τὸν Μῆδον.* Hesychius Illustr. in Mülleri Fragm. Hist. vol. 4 p. 163: *Εὐριπίδης κατὰ τὴν ἡμέραν ἣν ἐνίκων Ἕλληνες Πέρσας ἐν τῇ κατὰ Ξέρξου ναυμαχίᾳ, γεννᾶται εὐτυχίαν προσημαίνων Ἀθηναίοις.* de die pugnae Salaminiae v. Clintonis Fast. Hell. vol. 2 p. 30 ed. Kr.

3) Vita Eur. vs. 34: *ἐτελεύτησε δέ, ὡς φησὶ Φιλόχορος, ὑπὲρ τὰ ἑβδομήκοντα ἔτη γεγονώς, ὡς δὲ Ἐρατοσθένης οε´.* Diodorus 13, 103: *Ἀπολλόδωρος δὲ ὁ τὴν χρονικὴν σύνταξιν πραγματευσάμενος φησὶ καὶ τὸν Εὐριπίδην κατὰ τὸν αὐτὸν ἐνιαυτὸν τελευτῆσαι,* h. e. anno 406 sive olymp. 93, 3 archonte Callia. quo anno Dionysius maior dominatum occupavit teste Dionysio Hal. Ant. Rom. 7, 1 p. 1313. fallitur Plutarchus Mor. p. 717 C: *ἀποθανόντος δὲ* (sc. *Εὐριπίδου*) *καθ' ἣν ἐγεννήθη Διονύσιος ὁ πρεσβύτερος τῶν ἐν Σικελίᾳ τυράννων.*

4) Corp. Inscr. 2374, 65. 66. 75. 76.

5) Suidas: *Εὐριπίδης, Μνησάρχου ἢ Μνησαρχίδου.* Corp. Inscr. 6051: *Εὐρειπίδης Μνησάρχου Ἀθηναῖος.* Corp. Inscr. 6052: *Εὐρειπίδης Μνησαρχίδου Σαλαμείνιος τραγικὸς ποιητής.* in vita Euripidea libri discrepant. patronymicam formam tuetur auctor oraculi ab Eusebio (vide not. 13) traditi. ceterum similes varietates in aliis nominibus frequentissimae sunt: qua de re non nulla attuli in Aristoph. Byz. p. 2, alia Alfr. Fleckeisenus in Philol. vol. 4 p. 327.

6) Vita: *Εὐριπίδης ὁ ποιητὴς υἱὸς ἐγένετο Μνησαρχίδου καπήλου καὶ Κλειτοῦς λαχανοπώλιδος.* Nicolaus Damascenus ap. Stob. Flor. 44, 41 vol. 2 p. 187, 17 ed. Meinek.: *Βοιωτῶν ἔνιοι τοὺς τὸ χρέος οὐκ ἀποδιδόντας εἰς ἀγορὰν ἄγοντες καθίσαι κελεύουσιν, εἶτα κόφινον ἐπιβάλλουσιν αὐτοῖς· ὃς δ' ἂν κοφινωθῇ, ἄτιμος γίνεται. δοκεῖ δὲ τοῦτο πεπονθέναι καὶ ὁ Εὐριπίδου πατὴρ Βοιωτὸς ὢν τὸ γένος.*

tris iam Aristophanes Euripidi exprobrat; repugnant alii, qui Clito honestissimo genere natam contendunt[7]). ac profecto si reputaris vitae rationem a poetae initam, non egenum fuisse Euripidem probabilius videbitur: praesertim cum librorum copia, qua instructus fuisse dicitur, non potuerit nisi magnis sumptibus comparari. verumtamen ludibrium Aristophanis irritum erat et inane, si mater poetae nunquam illiberalem quaestum exercuisset. unde suspicor parentes quamvis ignobili loco natos ita opes suas sensim auxisse, ut poeta haberet unde honesto

---

7) Ar. Ach. 457: *εὐδαιμονοίης ὥσπερ ἡ μήτηρ ποτέ.* ubi Schol.: *σκώπτει αὐτὸν ὡς λαχανόπωλιν ἔχοντα μητέρα τὴν Κλειτώ.* Ar. Ach. 478: *σκάνδικά μοι δός, μητρόθεν δεδεγμένος.* Eq. 19: *ΝΙΚ. πῶς ἂν οὖν ποτε εἴποιμ' ἂν αὐτὸ δῆτα κομψευριπικῶς; ΔΗΜΟΣΘ. μή μοί γε, μή μοι, μὴ διασκανδικίσῃς.* Hesychius (cf. Schol. Ar. Eq. 19): *διασκανδικίσῃς· διευριπιδίσῃς. ἡ γὰρ τοῦ Εὐριπίδου μήτηρ σκάνδικας ἐπίπρασκε.* Ar. Thesm. 456: *ἄγρια γὰρ ἡμᾶς, ὦ γυναῖκες, δρᾷ κακά, ἅτ' ἐν ἀγρίοισι τοῖς λαχάνοις αὐτὸς τραφείς.* Ran. 840: *ἄληθες, ὦ παῖ, τῆς ἀρουραίας θεοῦ;* 947: *ΕΥΡ. ἀλλ' οὐξιὼν πρώτιστα μὲν τὸ γένος ἂν εἶπεν εὐθὺς τοῦ δράματος. ΑΙΣΧ. κρεῖττον γὰρ ἦν σοι νὴ Δί' ἢ τὸ σαυτοῦ.* Hesychius (cf. Phot. Lex. p. 516, 4 et Suid.): *σκάνδιξ· λάχανον ἄγριον. παρ' ὃ καὶ σκανδικοπώλην τὸν Εὐριπίδην λέγουσιν, ἐπεὶ λαχανοπωλητρίας υἱὸν αὐτὸν εἶναι φασί.* anonymus ap. Suid. v. *σκάνδιξ: καὶ μή μοι τὰ τοῦ σκανδικοπώλου παρατραγῴδει, σεμνὸν τὸ τῆς Πειρήνης ὕδωρ ἀποκαλοῦντος* (Med. 68). Gellius N. A. 15, 20, 1: *Euripidi poetae matrem Theopompus agrestia olera vendentem victum quaesisse dicit.* Plinius N. H. 22, 38: *Aristophanes Euripidi poetae obicit ioculariter matrem eius ne olus quidem legitimum venditasse, sed scandicem.* contradixit Philochorus teste Suida v. *Εὐριπίδης: οὐκ ἀληθὲς δὲ ὡς λαχανόπωλις ἦν ἡ μήτηρ αὐτοῦ· καὶ γὰρ τῶν σφόδρα εὐγενῶν ἐτύγχανεν, ὡς ἀποδείκνυσι Φιλόχορος.* de argumentis a Philochoro prolatis coniecturam facere licet ex Ath. X p. 424 E: *καὶ Εὐριπίδης ὁ ποιητὴς ἐν παισὶν ᾠνοχόησε. Θεόφραστος γοῦν ἐν τῷ περὶ μέθης φησί· πυνθάνομαι δ' ἔγωγε καὶ Εὐριπίδην τὸν ποιητὴν οἰνοχοεῖν Ἀθήνησι τοῖς ὀρχησταῖς καλουμένοις. ὠρχοῦντο δ' οὗτοι περὶ τὸν τοῦ Ἀπόλλωνος νεὼν τοῦ Δηλίου τῶν πρώτων ὄντες Ἀθηναίων καὶ ἐνεδύοντο ἱμάτια τῶν Θηραϊκῶν. ὁ δὲ Ἀπόλλων οὗτός ἐστιν ᾧ τὰ Θαργήλια ἄγουσι. καὶ διασῴζεται Φλυῆσιν ἐν τῷ δαφνηφορείῳ γραφὴ περὶ τούτων.* quicum compares quod in vita vs. 17 legitur: *γενέσθαι δὲ αὐτὸν καὶ πυρφόρον τοῦ Ζωστηρίου Ἀπόλλωνος.*

otio utens et poeseos studiis vacans vitam sustentaret. pater tametsi e Boeotia Athenas immigrasse traditur[8]), Euripides tamen Atheniensis fuit Phlyensium pago adscriptus[9]): natus autem dicitur in Salamine insula, quo parentes eius propter imminens a Persis periculum confugisse probabile est[10]). ibidem pueritiam et fortasse adolescentiam transegit: hoc enim, nihil amplius, concluserim e Gellii loco N. A. 15, 20, 5: *Philochorus refert in insula Salamine speluncam esse taetram et horridam, in qua scriptitarit*[11]). primum ad palaestram fortasse non tam sua voluntate quam patris iussu invitus delatus est: certe postea athletarum exercitationibus et moribus non favit[12]), ac produnt oraculi responso patrem motum fuisse ut filium athletam fieri iuberet[13]). item picturae

---

8) Vide Nicolai Damasceni locum not. 6 allatum.

9) Harpocr. p. 182, 5 Phot. Lex. p. 651, 21 Etym. M. p. 795, 39 Suid.: *Φλυεία* (*Φλυεῖς* Harp.) *δῆμος τῆς Κεκροπίδος· ἐκ τούτου δὲ τοῦ δήμου ἦν Εὐριπίδης ὁ τῆς τραγῳδίας ποιητής. Χολλείδην* Euripidem fuisse ex Ar. Ach. 406 suspicatus est Elmsleius.

10) Vita Eur.: *Ἀθηναῖος μέν, ἐγεννήθη δὲ ἐν Σαλαμῖνι.* inde *Σαλαμείνιος* dicitur Corp. Inscr. 6052 (vide not. 5). Suidas: *Εὐριπίδης Μνησάρχου ἢ Μνησαρχίδου, οἳ φεύγοντες εἰς Βοιωτίαν μετῴκησαν· εἶτα ἐν τῇ Ἀττικῇ.* grammaticorum ingenio deberi videtur quod Priscianus vol. 1 p. 63, 3 ed. Hertz. refert, Euripidem ab Euripo esse nominatum.

11) Cf. vita Eur. vs. 61: *φασὶ δὲ αὐτὸν ἐν Σαλαμῖνι σπήλαιον κατασκευάσαντα ἀναπνοὴν ἔχον εἰς τὴν θάλασσαν ἐκεῖσε διημερεύειν φεύγοντα τὸν ὄχλον.*

12) Inprimis vide fr. 284: *κακῶν γὰρ ὄντων μυρίων καθ' Ἑλλάδα οὐδὲν κάκιόν ἐστιν ἀθλητῶν γένους. οἳ πρῶτα μὲν ζῆν οὔτε μανθάνουσιν ευ οὔτ' ἂν δύναιντο κτέ.*

13) Vita Eur.: *ἤσκησε δὲ κατ' ἀρχὰς μὲν παγκράτιον ἢ πυγμήν, τοῦ πατρὸς αὐτοῦ χρησμὸν λαβόντος ὅτι στεφανηφόρους ἀγῶνας νικήσει· καὶ φασὶν αὐτὸν Ἀθήνησι νικῆσαι.* pluribus haec exornavit Gellius 15, 20, 2: *patri autem eius nato illo responsum est a Chaldaeis eum puerum, cum adolevisset, victorem in certaminibus fore; id ei puero fatum esse. pater interpretatus athletam debere esse, roborato exercitatoque filii sui corpore, Olympiam certaturum eum inter athletas pueros deduxit. ac primo quidem in certamen per ambiguam aetatem receptus non est, post Eleusino et Theseo certamine pugnavit et coronatus est.* nec defuit qui ipsum oraculum patri datum proderet. cf. Oenomaus in Eusebii P. E. V p. 227 C:

operam dedisse fertur[14]. mox vero ad philosophiae et poeseos studia se convertit. in philosophia magistris usus est Anaxagora Clazomenio, Prodico Ceo, Protagora Abderita: item cum Socrate familiaritate coniunctus fuisse videtur, quo factum est ut essent qui Socratis auxilio in tragoediis scribendis Euripidem usum fuisse dicerent[15].

ἔσται σοι κοῦρος, Μνησαρχίδη, ὅντινα πάντες
ἄνθρωποι τίσουσι, καὶ ἐς κλέος ἐσθλὸν ὀρούσει
καὶ στεφέων ἱερῶν γλυκερὴν χάριν ἀμφιβαλεῖται.

14) Vita Eur. vs. 16: *φασὶ δὲ αὐτὸν καὶ ζωγράφον γενέσθαι καὶ δείκνυσθαι αὐτοῦ πινάκια ἐν Μεγάροις.* Suidas: *γέγονε δὲ τὰ πρῶτα ζωγράφος.*

15) In vita Eur. iis quae not. 13 attulimus, haec subiciuntur: *ἀναγνοὺς δὲ ἐπὶ τραγῳδίαν ἐτράπη, καὶ πολλοὺς προσεξεῦρε προλόγους φυσιολογίας ῥητορείας ἀναγνωρισμούς. ὡς δὴ ἀκουστὴς γενόμενος Ἀναξαγόρου καὶ Προδίκου καὶ Πρωταγόρου, καὶ Σωκράτους ἑταῖρος. δοκεῖ δὲ αὐτῷ καὶ Σωκράτης ὁ φιλόσοφος καὶ Μνησίλοχος συμπεποιηκέναι τινά, ὥς φησι Τηλεκλείδης· ‘Μνησίλοχος δ' ἐκεῖνος φρύγει τι δρᾶμα καινὸν Εὐριπίδου, καὶ Σωκράτης τὰ φρύγαν' ὑποτίθησιν’. οἱ δὲ τὰ μέλη αὐτῷ φασὶν Ἰοφῶντα ποιεῖν ἢ Τιμοκράτην Ἀργεῖον.* in his statim *ἀναγνούς* corruptum arbitror: quae Thomas Magister substituit, *ἀγχίνους δ' ὢν εἴπερ τις καὶ τῷ πονεῖν ἑαυτὸν ἐκδεδωκὼς εἰς τραγῳδίαν ἐτράπη*, emendandi conatum produnt minime probabilem: sententiae satis fecerit *μεταγνούς*, quod post me coniecit M. Schmidtius in Philol. vol. 18 p. 230. sed faciliore mutatione ego in altera editione *ἀνὰ χρόνους* scribendum duxi. sic *μετὰ χρόνους* habes in Zenob. 1, 30 p. 11, 3 ed. Gott. et in Scholio Dosiadae Valck. Diatr. p. 135, *ἀνὰ χρόνον* dixerunt Herodotus et Dionysius Hal., *ἀνὰ χρόνους* Aristides vol. 1 pag. 96. ac ne nunc quidem hanc suspicionem improbo: quamquam *ἀναγινώσκειν* nonnunquam esse *litteris operam dare* docet L. Dindorfius in Thes. Gr. L. vol. I, 2 p. 319 D allatis tribus locis Iohannis Malalae scriptoris pessimi (p. 92, 12 p. 352, 9 p. 383, 6 ed. Bonn.). deinde *πολλοὺς προσεξεῦρε προλόγους* ineptum est; genuinam lectionem, *πολλὰ προσεξεῦρε, προλόγους κτέ.*, recte agnovit Thomas Mag. p. 139, 12: *πολλὰ γὰρ εἰς τὴν τέχνην προσεξεῦρεν, ἃ οὐδείς τις οὖν γε τῶν πρὸ αὐτοῦ.* de Teleclidis fragmento vide Meinekii Com. vol. 2 p. 371 sq. cum Henrici Iacobi supplem. vol. 5 p. LX. a Teleclide Euripideas tragoedias *σωκρατογόμφους* appellatas esse, quod vulgo statuunt, minime certum est: Fritzschii coniectura adiutus in Diog. L. 2, 18 pro *καὶ πάλιν Εὐριπίδης σωκρατογόμφους* scribendum suspicor *καὶ πάλιν ‘εὐριπιδοσωκρατοκόμπους’*, quo epitheto poeta comicus homines notasse videtur Euripideae et

horum virorum institutio vel consuetudo quantam vim ad ingenium Euripidis colendum et ad universam eius poesin

---

Socraticae sapientiae fastu elatos vel Euripidis et Socratis more κομπάζοντας. Gellius 15, 20, 4 haec habet: *mox a corporis cura ad excolendi animi studium transgressus auditor fuit physici Anaxagorae et Prodici rhetoris, in morali autem philosophia Socratis.* plurimum sine dubio Anaxagorae Euripides debuit, cuius et disciplinam et quodammodo mores ita expressit, ut alumnus Clazomenii philosophi haud immerito appellatus sit ab Aristophane (Gellii 15, 20, 8): *ὁ δ' Ἀναξαγόρου τρόφιμος χαιοῦ κτέ.* itaque identidem Anaxagorae philosophemata ad scaenam traduxit, qua de re infra dicetur. minus certo persequi licet, Prodicus et Protagoras quid ad formandum poetae ingenium contulerint. errori videntur deberi quae Diog. L. 9, 55 refert, *φησὶ δὲ Φιλόχορος πλέοντος αὐτοῦ* (Anaxagoram dicit) *ἐς Σικελίαν τὴν ναῦν καταποντισθῆναι, καὶ τοῦτο αἰνίττεσθαι Εὐριπίδην ἐν Ἰξίονι*: cf. Clinton. Fast. Hell. vol. 2 p. 377 ed. Kr. ac manifesto falsum est quod Diog. L. 2, 44 narrat, in Palamede damnati Socratis significationem extitisse: qua de re dixi in Trag. Fragm. p. 363. consuetudinem tamen Protagorae et Euripidis prodit fama quaedam a Diog. L. 9, 54 commemorata: *πρῶτον δὲ τῶν λόγων ἑαυτοῦ ἀνέγνω* (Protagoras) *τὸν περὶ θεῶν —· ἀνέγνω δὲ Ἀθήνησιν ἐν τῇ Εὐριπίδου οἰκίᾳ ἤ, ὥς τινές, ἐν τῇ Μεγακλείδου· ἄλλοι, ἐν Λυκείῳ.* docuit autem Protagoras *δύο λόγους εἶναι περὶ παντὸς πράγματος ἀντικειμένους ἀλλήλοις* (Diog. L. 9, 51 et Steph. Byz. v. Ἄβδηρα): item Euripidi *ἐκ παντὸς ἄν τις πράγματος δισσῶν λόγων ἀγῶνα θεῖτ' ἄν, εἰ λέγειν εἴη σοφός* (fr. 189), et quantopere amarit poeta personas suas oratione certantes proponere, singulae fere testantur tragoediae. de Socratis et Euripidis familiaritate nihil certi tenemus. Socratem tragoediarum socium etiam Callias facit Com. vol. 2 p. 739, quibus comicorum iocis nemo fidem habebit. admiratorem Euripidis fuisse Socratem facile credimus Aeliano V. H. 2, 13: *Σωκράτης σπάνιον μὲν ἐπεφοίτα τοῖς θεάτροις· εἴ ποτε δὲ Εὐριπίδης ὁ τῆς τραγῳδίας ποιητὴς ἠγωνίζετο καινοῖς τραγῳδοῖς, τότε γε ἀφικνεῖτο. καὶ Πειραιοῖ δὲ ἀγωνιζομένου τοῦ Εὐριπίδου καὶ ἐκεῖ κατῄει· ἔχαιρε γὰρ τῷ ἀνδρὶ δηλονότι διά τε τὴν σοφίαν αὐτοῦ καὶ τὴν ἐν τοῖς μέτροις ἀρετήν.* magis dubitationi obnoxia est narratiuncula a Cicerone Tusc. 4, 29, 63 tradita: *cum Orestem fabulam doceret Euripides, primos tres versus revocasse dicitur Socrates.* prorsus incredibilia sunt quae de Platonis et Euripidis itinere in Aegyptum suscepto fabulatur Diog. L. 3, 6: *ἔνθεν τε εἰς Αἴγυπτον* (Plato profectus est) *παρὰ τοὺς προφήτας· οὗ φασὶ καὶ Εὐριπίδην αὐτῷ ἀκολουθῆσαι καὶ αὐτόθι νοσήσαντα πρὸς τῶν ἱερέων ἀπολυθῆναι τῇ διὰ θαλάττης θεραπείᾳ· ὅθεν καὶ εἰπεῖν* (Iph. T. 1193) *'θάλασσα κλύζει*

effingendam habuerit, nemini ignotum est: neque erraris, si ex hac maxime institutione illud philosophandi studium animo Euripidis infixum repetiveris, cui scaenici philosophi cognomen[16] ipse debuit. quo aetatis anno ad tragicum certamen primum descenderit, certo definiri in tanto testium dissensu vix poterit[17]. credibile autem est mediocri cum favore primas poetae tragoedias a populo exceptas et aliquamdiu iniquiora iudicia eum expertum esse, antequam primo loco victor renuntiaretur et eam aequalium gratiam sibi conciliaret qua apud posteros floruit. nec pater Mnesarchides responsum Apollinis ratum vidit[18]. inde a gravissima demum omnium rerum conversione, quae ingruente bello Peloponnesiaco civitatem Atheniensium invasit, Euripideae sapientiae faciliorem aurem cives praebuisse videntur[19]: cuius rei quae causae fuerint, infra indicabitur. nihilominus quinquies tantum primas ad Euripidem delatas esse accepimus[20]. ac poeta

---

πάντα τἀνθρώπων κακά'. denique Heracliti τοῦ σκοτεινοῦ scripta lectitata esse ab Euripide haud improbabile est, cf. Tatian. Orat. ad Gr. c. 3 et Diog. L. 2, 22.

16) Cf. Ath. IV p. 158 E et XIII p. 561 A Sextus Empir. p. 666, 1 Clemens Alex. Strom. V p. 688 Origenes c. Cels. 4, 77 p. 215 Eusebius P. E. X p. 504 C Vitruvius VIII praef. § 1.

17) Vita Eur. vs. 30: ἤρξατο δὲ διδάσκειν ἐπὶ Καλλίου ἄρχοντος κατὰ ὀλυμπιάδα ὀγδοηκοστὴν πρώτην ἔτει πρώτῳ. πρῶτον δὲ ἐδίδαξε τὰς Πελιάδας, ὅτε καὶ τρίτος ἐγένετο. ibidem paulo antea vs. 29: ἄρξασθαι δὲ ἀγωνίζεσθαι γενόμενον ἐτῶν εἰκοσιέξ. ubi εἴκοσι πέντε scribendum suspicere coll. Thom. M. p. 139, 21: ἤρξατο δὲ τοῦ περὶ ταῦτα ἀγῶνος ἐτῶν κε' γεγονώς. ab his discrepat Gellius 15, 20, 4: *tragoediam scribere natus annos duodeviginti adortus est.* in marmore Pario (C. I. 2374, 75) haec habentur: Εὐριπίδης ἐτῶν ὢν ΔΔΔΔΙΙΙ τραγῳδίᾳ πρῶτον ἐνίκησεν — ἄρχοντος Ἀθήνησι Διφίλου (olymp. 84, 3 sive anno 441 ante Chr. n.). commentum a Suida proditum, ἐπὶ τραγῳδίαν δὲ ἐτράπη τὸν Ἀναξαγόραν ἰδὼν ὑποστάντα κινδύνους δι' ἅπερ εἰσῆξε δογματα, verbo tetigisse satis habemus.

18) Plut. Mor. p. 496 F: οὐδὲ Εὐριπίδου καὶ Σοφοκλέους νίκας οἱ πατέρες ἔγνωσαν.

19) Certe olymp. 87, 4 (a. 428 a. Chr. n.) primus victor renuntiatus est, cf. Argum. Eur. Hipp.

20) Gellius N. A. 17, 4, 3: *Euripidem quoque M. Varro ait, cum quinque et septuaginta tragoedias scripserit, in quinque solis*

quo magis sensim in civium animos se insinuavit, eo acriores nanctus est adversarios, comicos dico poetas, quorum nemo aut acerbius aut ingeniosius eum exagitavit quam Aristophanes. qui tametsi philosophiae Euripideae parum aequum iudicem se praebuit et multos tragici poetae locos iocose magis quam ludibrii causa in risum vertit, miro tamen acumine et egregia cum subtilitate poesin adversarii censurae subiecit severae illi quidem nec tamen prorsus iniustae. comicorum poetarum ludibrio deberi videntur socii illi et adiutores, quorum opera in fabulis componendis usus esse poeta proditur. quo in numero praeter Socratem commemorantur Mnesilochus et Timocrates Argivus, inprimis vero Cephisophon poetae servus, qui ut in tragoediis scribendis ita in liberis creandis opem ei praestiterit[21]. nam fuit ea comicorum

---

vicisse, cum eum saepe vincerent aliquot poetae ignavissimi. non tragoediis sed tetralogiis quinque poetam vicisse perspicuum est. Suidas: *νίκας δὲ εἵλετο ε΄, τὰς μὲν τέσσαρας περιών, τὴν δὲ μίαν μετὰ τὴν τελευτὴν ἐπιδειξαμένου τὸ δρᾶμα τοῦ ἀδελφιδοῦ αὐτοῦ Εὐριπίδου.* vitiose in vitae Eur. vs. 131 *νίκας δὲ ἔχει ιε΄* traditum est, quem scribendi errorem propagavit Thomas M. p. 139, 20. ceterum singulae quae fuerint Euripidis victoriae, nostris subsidiis explorari non potest, cf. Bergkius in Meinekii Com. vol. 2 p. 904.

21) Mnesilochus Euripidis socer tum a Teleclide (vide not. 15) torrere Euripideam fabulam dicitur tum in Aristophanis Thesmophoriazusis tanquam fidus poetae socius festive ridetur. Timocratem Argivum memorat vita Euripidea, ceteri testes ignorant. sed verissime, ut opinor, Bergkius eundem hominem coniecit in Scholio Veneto Eur. Andr. 445 indicari, ubi haec extant: *εἰλικρινῶς δὲ τοὺς τοῦ δράματος χρόνους οὐκ ἔστι λαβεῖν· οὐ δεδίδακται γὰρ Ἀθήνησιν· ὁ δὲ Καλλίμαχος ἐπιγραφῆναι φησὶ τῇ τραγῳδίᾳ Δημοκράτην.* ergo Callimacho teste Andromacha non Athenis sed Argis scaenae commissa est tanquam Democratis aut Timocratis fabula. interdum alieno nomine usos suas fabulas poetas edidisse nemo ignorat. utrum *Δημοκράτης* an *Τιμοκράτης* Argivus ille dictus fuerit, adhuc incertum est. de Cephisophonte cf. Aristophanis locus (Com. 2 p. 1177) in vita Eur. vs. 95 allatus. in supellectile poetae hominem istum memorat Ar. Ran. 1408: *ἐς τὸν σταθμὸν αὐτός, τὰ παιδί', ἡ γυνή, Κηφισοφῶν ἐμβὰς καθήσθω.* Dionysius ibidem interrogat 1452: *εὖ γ', ὦ Παλάμηδες, ὦ σοφωτάτη φύσις· ταυτὶ πότερ' αὐτὸς ηὗρες ἢ Κηφισοφῶν;* Ar. Ran.

licentia, ut non poemata solum Euripidis maligne carperent, sed ipsum poetam ad scaenam traducerent et aedium arcana perscrutarentur. ac fortasse res domesticae Euripidis ita comparatae erant, ut cavillandi et irridendi materiam adversariis praeberent: quamquam quae nos relata legimus fabulis et commentis mixta sunt nec de rerum veritate certum admittunt iudicium. traditur autem Euripides duas habuisse uxores; si vitae scriptorem audias, primum duxit Melito, deinde Choerinen: Suidas ordinem invertit, duas simul uxores poetae fuisse narrat Gellius: alios duplicis matrimonii testes non habemus[22]. quae de perfidia et lascivia aut mulierum aut Euripidis traduntur partim mendacii notam in fronte gerunt, par-

---

944: *εἶτ᾽ ἀνέτρεφον* (tragoediam) *μονῳδίαις, Κηφισοφῶντα μιγνύς.* ubi Schol.: *ἐδόκει δοῦλος ὢν ὁ Κηφισοφῶν συμποιεῖν αὐτῷ καὶ μάλιστα τὰ μέλη, ὃν καὶ συνεῖναι τῇ γυναικὶ αὐτοῦ κωμῳδοῦσιν.* cum uxore Euripidis Cephisophontem rem habuisse vel ex silentio Aristophanis non est probabile. ficta igitur iudico quae in vita extant vs. 90: *εἶχεν οἰκογενὲς μειράκιον ὀνόματι Κηφισοφῶντα· πρὸς τοῦτον ἐφώρασε τὴν οἰκείαν γυναῖκα ἀτακτοῦσαν. τὸ μὲν οὖν πρῶτον ἀπέτρεπεν ἁμαρτάνειν· ἐπεὶ δὲ οὐκ ἔπειθε, κατέλιπεν αὐτῷ τὴν γυναῖκα.*

22) Vita Eur. vs. 26: *γυναῖκα δὲ γῆμαι πρώτην Μελιτώ, δευτέραν δὲ Χοιρίνην.* Suidas: *μισογύνης ἐδοξάσθη. ἔγημε δὲ ὅμως πρώτην μὲν Χοιρίνην θυγατέρα Μνησιλόχου, ἐξ ἧς ἔσχε Μνησίλοχον καὶ Μνησαρχίδην καὶ Εὐριπίδην· ἀπωσάμενος δὲ ταύτην ἔσχε καὶ δευτέραν, καὶ ταύτης ὁμοίως ἀκολάστου πειραθείς.* Gellius 15, 20, 6: *mulieres fere omnes in maiorem modum exosus fuisse dicitur, sive quod natura abhorruit a mulierum coetu sive quod duas simul uxores habuerat, cum id decreto ab Atheniensibus facto ius esset, quarum matrimonii pertaedebat.* de ista Gellii narratiuncula recte iudicavit Fritzschius in Ar. Thesm. p. 111: *tota res*, inquit, *vel uno redarguitur comici silentio*, *qui mulierum osori duas simul uxores certe non remisisset.* idem quae in vita dicuntur falsa esse perspexit: itaque Suidae se addixit et alterum coniugium brevissimum fuisse suspicatus est. cui iudicio subscriberem, nisi omnino digamia ista ficticia videretur. certe Aristophanes non novit nisi unam Euripidis mulierem, Mnesilochi filiam: quam rem sufficere arbitror ad mediocres illos testes refutandos. hanc Mnesilochi filiam *Χοιρίνην* dictam fuisse, non *Χοιρίλην*, libri docent (cf. Vit. vs. 27 Suid. v. *Εὐριπίδης* Schol. Ar. Thesm. init.): *Χοιρίλην* scribitur in vitae vs. 67, ubi melioribus codicibus destituti sumus.

tim eorum hominum curiosae sedulitati debentur, quibus nihil credendum sit[23]). ex aliis narratiunculis haud iniuria collegeris oris foetore Euripidem laborasse[24]). filios tres habuisse dicitur, Mnesarchidem mercatorem, Mnesi-

---

23) In vita Eur. vs. 90 et in Schol. Ran. 944 quid Cephisophonti obiciatur, supra vidimus not. 21. alias fabellas apponit vita vs. 67: *λέγουσι δὲ αὐτὸν γήμαντα τὴν Μνησιλόχου θυγατέρα Χοιρίλην καὶ νοήσαντα τὴν ἀκολασίαν αὐτῆς γράψαι πρῶτον δρᾶμα τὸν Ἱππόλυτον, ἐν ᾧ τὴν ἀναισχυντίαν θριαμβεύει τῶν γυναικῶν, ἔπειτα δὲ αὐτὴν ἀποπέμψασθαι. λέγοντος δὲ τοῦ γήμαντος αὐτήν 'σωφρονεῖ παρ' ἐμοί', 'δύστηνος εἶ' ἔφη, 'εἰ γυναῖκα δοκεῖς παρ' ᾧ μὲν αὐτὴν σωφρονεῖν, παρ' ᾧ δὲ μή.' ἐπιγῆμαι δὲ αὐτὸν δευτέραν, ἣν εὑρὼν ἀκολαστοτέραν προχειροτέρως εἰς τὴν κατὰ τῶν γυναικῶν βλασφημίαν ἐθρασύνετο.* quarum fabellarum fundamenta haec sunt: in Hippolyto multis conviciis poeta mulieres obruit, deinde El. 921 haec dixit: *ἴστω δ' ὅταν τις διολέσας δάμαρτά του κρυπταῖσιν εὐναῖς εἶτ' ἀναγκασθῇ λαβεῖν, δυστηνός ἐστιν, εἰ δοκεῖ τὸ σωφρονεῖν ἐκεῖ μὲν αὐτὴν οὐκ ἔχειν, παρ' οἷ δ' ἔχειν:* denique in plurimis tragoediis mulieres exagitat. lepida magis quam vera refert Hieronymus Rhodius ap. Ath. XIII p. 557 E: *εἰπόντος τινὸς ὅτι μισογύνης ἐστὶν Εὐριπίδης, ἔν γε ταῖς τραγῳδίαις, ἔφη ὁ Σοφοκλῆς· ἐπεὶ ἔν γε τῇ κλίνῃ φιλογύνης.* cf. Ath. XIII p. 603 E: *φιλομεῖραξ δὲ ἦν ὁ Σοφοκλῆς, ὡς Εὐριπίδης φιλογύνης.* Serenus ap. Stob. Flor. 6, 36: *περὶ Εὐριπίδου τις ἔλεγεν ὅτι μισογύνης εἴη· καὶ ὁ Σοφοκλῆς 'ἀλλ' οὐκ ἔν γε τῇ κλίνῃ' ἔφη.* adde quae de Sophocle et Euripide profert Hieronymus Rhod. ap. Ath. XIII p. 604 F, ubi hoc tanquam Sophoclis epigramma apponitur:

Ἥλιος ἦν, οὐ παῖς, Εὐριπίδη, ὅς με χλιαίνων
γυμνὸν ἐποίησεν· σοὶ δὲ φιλοῦντ' ἑτέραν
βορρᾶς ὡμίλησε· σὺ δ' οὐ σοφός, ὃς τὸν Ἔρωτα,
ἀλλοτρίαν σπείρων, λωποδύτην ἀπάγεις.

quam frigidam et inficetam poesin ipsius esse Hieronymi suspicor.

24) Aristot. Polit. 5, 10 p. 1311 b 30: *καὶ τῆς Ἀρχελάου δ' ἐπιθέσεως Δεκάμνιχος ἡγεμὼν ἐγένετο — αἴτιον δὲ τῆς ὀργῆς ὅτι αὐτὸν ἐξέδωκε μαστιγῶσαι Εὐριπίδῃ τῷ ποιητῇ· ὁ δ' Εὐριπίδης ἐχαλέπαινεν εἰπόντος τι αὐτοῦ εἰς δυσωδίαν τοῦ στόματος.* Stob. Flor. 41, 6: *Εὐριπίδης ὀνειδίζοντος αὐτῷ τινος ὅτι τὸ στόμα δυσώδης ἦν, 'πολλὰ γάρ' εἶπεν αὐτῷ 'ἀπόρρητα ἐγκατεσάπη'.* Vita Eur. vs. 86: *μειρακίου δέ τινος ἀπαιδευτοτέρου στόμα δυσῶδες ἔχειν ὑπὸ φθόνου αὐτὸν εἰπόντος, 'εὐφήμει' ἔφη· 'μέλιτος καὶ Σειρήνων γλυκύτερον στόμα'.* ubi extremis verbis respicitur Aristophanis versus supra p. IX allatus.

lochum actorem, Euripidem, quorum natu minimus aliquot patris tragoedias ediderit[25]). extremum vitae tempus extra patriam Euripides degit. primum enim Magnesiam petiit, ubi hospitio publico et immunitate usus est, tum ad Archelaum Macedoniae regem se contulit, a quo regali munificentia et liberalitate exceptus summoque honore affectus est[26]). cuius peregrinationis nec de causa nec de tempore satis edocti sumus; sed probabile est poetam sive rerum publicarum calamitate fractum sive adversariorum iniuriis lacessitum patria cessisse, et quantum e temporum ratione colligimus, paucis ante obitum annis admodum senex Athenis profectus est[27]). Archelai

25) Vita Eur. vs. 27: *υἱοὺς κατέλιπε τρεῖς, Μνησαρχίδην μὲν πρῶτον ἔμπορον, δεύτερον δὲ Μνησίλοχον ὑποκρίτην, νεώτατον δὲ Εὐριπίδην, ὃς ἐδίδαξε τοῦ πατρὸς ἔνια δράματα.* Schol. Ar. Ran. 67: *αἱ διδασκαλίαι φέρουσι τελευτήσαντος Εὐριπίδου τὸν υἱὸν αὐτοῦ δεδιδαχέναι ὁμώνυμον ἐν ἄστει Ἰφιγένειαν τὴν ἐν Αὐλίδι, Ἀλκμαίωνα, Βάκχας.*

26) Suid.: *ἀπάρας δὲ ἀπ' Ἀθηνῶν ἦλθε πρὸς Ἀρχέλαον τὸν βασιλέα τῶν Μακεδόνων, παρ' ᾧ διῆγε τῆς ἄκρας ἀπολαύων τιμῆς.* Syncellus p. 500, 7: *μετὰ γὰρ Περδίκκαν Ἀρχέλαος ὁ υἱὸς αὐτοῦ ἐβασίλευσεν ἔτη ιδ', πρὸς ὃν καὶ Εὐριπίδης τραγῳδοποιὸς παραγενηθεὶς πάντα τὸν χρόνον διῆξε τιμώμενος παρ' αὐτῷ.* Solini Polyh. c. 9, 15 p. 73, 4: *hic Archelaus in tantum litterarum mire amator fuit ut Euripidi tragico consiliorum summam concrederet: cuius suprema non contentus prosequi sumptu funeris, crinem tonsus est et moerorem quem animo conceperat vultu publicavit.* Lucianus de paras. c. 35: *Εὐριπίδης μὲν γὰρ ὅτι Ἀρχελάῳ μέχρι τοῦ θανάτου παρεσίτει καὶ Ἀνάξαρχος Ἀλεξάνδρῳ, πάντως ἐπίστασαι.* Vita Eur. vs. 21: *μετέστη δὲ ἐν Μαγνησίᾳ καὶ προξενίᾳ ἐτιμήθη καὶ ἀτελείᾳ. ἐκεῖθεν δὲ εἰς Μακεδονίαν περὶ Ἀρχέλαον γενόμενος διέτριψε καὶ χαριζόμενος αὐτῷ δρᾶμα ὁμωνύμως ἔγραψε καὶ μάλα [εὖ] ἔπραττε παρ' αὐτῷ, ὅτε καὶ ἐπὶ τῶν διοικήσεων ἐγένετο.* ubi quae de Archelao tragoedia narrantur ficta esse suspicor. longe diversa tradit Diomedes p. 488, 20: *tristitia namque tragoediae proprium, ideoque Euripides petente Archelao rege ut de se tragoediam scriberet abnuit ac precatus est ne accideret Archelao aliquid, tragoediam ostendens nihil aliud esse quam miseriarum comprehensionem.* versiculos illos, *οὐ βούλομαι πλουτοῦντι δωρεῖσθαι πένης, μή μ' ἄφρονα κρίνῃς ἢ διδοὺς αἰτεῖν δοκῶ* (fr. 960), Dicaearchus suspicatus est ad Archelaum dictos esse: id quo iure suspicatus sit, nescio neque scire laboro.

27) Euripidem dici suspicor a Philodemo de vitiis X p. 20 ed. Saupp.: *διὸ καὶ φασὶν ἀχθόμενον αὐτὸν ἐπὶ τῷ σχεδὸν πάντας*

in aula cum Agathone suavissimam consuetudinem habuisse proditur[28]). ibidem diem supremum obiit anno 406 a. Chr. n. sive olymp. 93, 3 annum agens septuagesimum quintum[29]). de morte eius fabulae extant mirificae et inter se discrepantes: sed plerique a canibus discerptum esse referunt[30]), quae fabula nescimus utrum a comicis

---

ἐπιχαίρειν πρὸς Ἀρχέλαον ἀπελθεῖν. olymp. 92, 1, quo anno Aristophanes Thesmophoriazusas edidit, Euripidem Athenis etiam tum fuisse liquet: item fortasse olympiadis eiusdem anno quarto, archonte Diocle, ἐφ' οὗ τὸν Ὀρέστην ἐδίδαξε (Schol. Eur. Or. 361). mortuus autem est Euripides olymp. 93, 3: cf. not. 29.

28) Aelianus V. H. 13, 4: Ἀρχέλαος ὁ βασιλεὺς ἑστίασιν παρεσκεύασε πολυτελῆ τοῖς ἑταίροις. προϊόντος δὲ τοῦ πότου ζωρότερον πιὼν Εὐριπίδης ὑπήχθη πως κατ' ὀλίγον εἰς μέθην. εἶτα συγκλιθέντα αὐτῷ Ἀγάθωνα τὸν τῆς τραγῳδίας ποιητὴν περιλαβὼν κατεφίλει τεσσαράκοντα ἐτῶν που γεγονότα. τοῦ δὲ Ἀρχελάου πυθομένου, εἰ καὶ νῦν ἔτι ἐρώμενος (fort. ἐράσμιος) αὐτῷ δοκεῖ εἶναι, ἀπεκρίνατο· ναὶ μὰ Δία· οὐ γὰρ μόνον τὸ ἔαρ τῶν καλῶν καλόν ἐστιν, ἀλλὰ καὶ τὸ μετόπωρον. cf. Plut. Mor. p. 770 C. aliam rem narrat Plut. Mor. p. 531 D: Ἀρχέλαος μὲν γὰρ ὁ τῶν Μακεδόνων βασιλεὺς παρὰ δεῖπνον αἰτηθεὶς ἔκπωμα χρυσοῦν ὑπ' ἀνθρώπου μηδὲν ἡγουμένου καλὸν ἢ τὸ λαμβάνειν, ἐκέλευσεν Εὐριπίδῃ τὸν παῖδα δοῦναι, καὶ πρὸς τὸν ἄνθρωπον ἐκεῖνον ἀποβλέψας 'σὺ μέν' εἶπεν 'αἰτεῖν ἐπιτήδειος εἶ καὶ μὴ λαμβάνειν· οὗτος δὲ λαμβάνειν καὶ μὴ αἰτῶν'. ancipitis sunt fidei quae de Euripide lusit Hermesianax ap. Ath. XIII p. 598 D:

φημὶ δὲ κἀκεῖνον τὸν ἀεὶ πεφυλαγμένον ἄνδρα
καὶ σπανίων μῖσος κτώμενον ἐκ συνόδων
πάσας ἀμφὶ γυναῖκας, ὑπὸ σκολιοῖο τυπέντα
τόξου, νυκτερινὰς οὐκ ἀποθέσθ' ὀδύνας.
ἀλλὰ Μακηδονίης πάσας κατενίσατο λαύρας
Αἰγείων (?) μέθεπεν δ' Ἀρχέλεω ταμίην,
εἰσόκε τοι δαίμων, Εὐριπίδη, εὕρετ' ὄλεθρον
Ἀμφιβίου στυγνῶν ἀντιάσαντι κυνῶν.

29) Vide quae not. 3 allata sunt de Eratosthene et Apollodoro. dissentit rursus marmor Parium C. I. 2374, 77: ἐτε]λεύτησεν — ἄρχοντος Ἀθήνησιν Ἀντιγένους (olymp. 93, 2 sive anno 407 a. Chr. n.). tam Sophocles quam Euripides paulo ante quam Aristophanis Ranae docerentur decesserunt, quam fabulam Callia archonte anno 405 editam esse constat.

30) Diod. Sic. 13, 103: τινὲς δὲ λέγουσι παρ' Ἀρχελάῳ τῷ βασιλεῖ Μακεδόνων κατὰ τὴν χώραν ἐξελθόντα κυσὶ περιπεσεῖν καὶ διασπασθῆναι μικρῷ πρόσθεν τούτων τῶν χρόνων. Gellius 15, 20, 9: *is cum in Macedonia apud Archelaum regem esset ute-*

poetis inventa sit[31]) an aliunde originem ducat. sepultus est poeta prope Arethusam in convalle duobus rivis irri-

---

returque eo rex familiariter, rediens noctu ab eius cena canibus a quodam aemulo immissis dilaceratus est, et ex his vulneribus mors secuta est. Valerius Max. 9, 12 ext. 4: *atrocius aliquanto Euripides finitus est. ab Archelai enim regis cena in Macedonia domum hospitalem repetens canum morsibus laniatus obiit.* Ovidius Ib. 595: *utque cothurnatum vatem tutela Dianae, dilaniet vigilum te quoque turba canum.* Sotades ap. Stob. Flor. 98, 9: *κύνες οἱ κατὰ Θράκην Εὐριπίδην ἔτρωγον.* idem significat Paus. 1, 2, 2: *τέθαπται δὲ Εὐριπίδης ἐν Μακεδονίᾳ παρὰ τὸν βασιλέα ἐλθὼν Ἀρχέλαον· ὁ δέ οἱ τοῦ θανάτου τρόπος, πολλοῖς γὰρ ἔστιν εἰρημένος, ἐχέτω καθὰ λέγουσιν.* Vita Eur. vs. 119: *εἰς Μακεδόνας ἀπῆρε πρὸς Ἀρχέλαον τὸν βασιλέα, κἀνταῦθα ὀψιαίτερον ἀναλύων ὑπὸ βασιλικῶν ἐφθάρη κυνῶν.* Adesp. Anth. Pal. 7, 44: *εἰ καὶ δακρυόεις, Εὐριπίδη, εἷλε σὲ πότμος καὶ σὲ λυκορραῖσται δεῖπνον ἔθεντο κύνες κτέ.* adde locum corruptum Hygini fab. 247 et Hermesianactis versus not. 28 allatos. magis etiam mira sunt quae in vita Eur. vs. 48—60 extant, *ἐν τῇ Μακεδονίᾳ κώμη ἔστι καλουμένη Θρᾳκῶν κτέ.* de loco ubi poeta laniatus sit dissentit Stephanus Byz. p. 176, 1: *Βορμίσκος, χωρίον Μακεδονίας, ἐν ᾧ κυνοσπάρακτος γέγονεν Εὐριπίδης· οὓς κύνας τῇ πατρῴᾳ φωνῇ ἐστερικὰς* (*ἐστερίκας* R) *καλοῦσιν οἱ Μακεδόνες, ὁ δὲ ποιητὴς τραπεζῆας· ἐκ δὲ τῶν δηγμάτων ἀρρωστήσαντα αὐτὸν ἀποθανεῖν.* alii inimicos nominant, qui canes Euripidi immiserint. Diogenianus 7, 52 (cf. Suid. vol. II, 2 p. 447, 9): *Προμέρου κύνες. τοῦτόν φασιν οἰκέτην ὄντα βασιλικὸν μισῆσαι καθ' ὑπερβολὴν τῶν τραγῳδιῶν τὸν τοιητὴν Εὐριπίδην ἐπαφεῖναί τε αὐτῷ κύνας ἀγρίους, οἳ τοῦτον κατεθοινήσαντο.* contra Suidas v. *Εὐριπίδης: ἐτελεύτησε δὲ ὑπὸ ἐπιβουλῆς Ἀρριδαίου τοῦ Μακεδόνος καὶ Κρατεύα τοῦ Θετταλοῦ ποιητῶν ὄντων καὶ φθονησάντων αὐτῷ πεισάντων τε τὸν βασιλέως οἰκέτην τοὔνομα Λυσίμαχον δέκα μνῶν ἀγορασθέντα τοὺς βασιλέως οὓς αὐτὸς ἔτρεφε κύνας ἐπαφεῖναι αὐτῷ.* ne isti quidem narrationi fidem habendam existimo: videor enim agnoscere conatum eorum qui historiam fingere quam propagare fabulam maluerint. addit Suidas alias fabellas: *οἳ δὲ ἱστόρησαν οὐχ ὑπὸ κυνῶν ἀλλ' ὑπὸ γυναικῶν νύκτωρ διασπασθῆναι πορευόμενον ἀωρὶ πρὸς Κρατερὸν τὸν ἐρώμενον Ἀρχελάου· καὶ γὰρ σχεῖν αὐτὸν καὶ περὶ τοὺς τοιούτους ἔρωτας· οἳ δὲ πρὸς τὴν γαμετὴν Νικοδίκου τοῦ Ἀρεθουσίου.* utramque famam respicit atque ut debitus poetae honor vindicetur impugnat Addaeus Anth. Pal. 7, 51: *οὔ σε κυνῶν γένος εἷλ', Εὐριπίδη, οὐδὲ γυναικὸς οἶστρος τὸν σκοτίης κύπριδος ἀλλότριον, ἀλλ' Ἀίδης καὶ γῆρας.* nihil probat iste dissensus, nihil ceterorum fabulae.

31) Hoc suspicari videtur Lehrsius *Populäre Aufs.* p. 208.

gata[32]. Athenienses eidem cenotaphium extruxerunt epigrammate vel Thucydidis vel Timothei ornatum[33]. tumulum Euripidis fulgure ictum ferunt: qua in re sive vera sive ficta veteres agnoverunt deorum numen summum poetam praeter ceteros carum sibi esse testantium[34].

---

facilius crediderim comici ingenii leporem subesse ineptiis illis quae in vita Eur. extant; vide vs. 76: *αἱ δὲ γυναῖκες ἐβουλήθησαν αὐτὸν κτεῖναι εἰσελθοῦσαι εἰς τὸ σπήλαιον, ἐν ᾧ γράφων διετέλει*, et vs. 98: *λέγουσι δὲ καὶ ὅτι γυναῖκες διὰ τοὺς ψόγους οὓς ἐποίει εἰς αὐτὰς διὰ τῶν ποιημάτων, τοῖς Θεσμοφορίοις ἐπέστησαν αὐτῷ βουλόμεναι ἀνελεῖν· ἐφείσαντο δὲ αὐτοῦ πρῶτον μὲν διὰ τὰς Μούσας, ἔπειτα δὲ βεβαιωσαμένου μηκέτι αὐτὰς κακῶς ἐρεῖν.* certe *Θεσμοφορίων* mentio ex Aristophanea fabula repetita videtur.

32) Paus. 1, 2, 2: *τέθαπται δὲ Εὐριπίδης ἐν Μακεδονίᾳ παρὰ τὸν βασιλέα ἐλθὼν Ἀρχέλαον.* Vita Eur. vs. 36: *ἐν Μακεδονίᾳ ἐτάφη.* Bianor Anth. Pal. 7, 49: *ἁ Μακέτις σε κέκευθε τάφου κόνις.* Plut. V. Lycurgi c. 31: *Εὐριπίδῃ — ταφέντι τῆς Μακεδονίας περὶ Ἀρέθουσαν.* Ammianus Marc. 27, 4, 8: *proxima Arethusa convallis et statio, in qua visitur Euripidis sepulcrum.* Addaeus Anth. Pal. 7, 51: *ὑπαὶ Μακέτῃ δ' Ἀρεθούσῃ κεῖσαι ἑταιρείῃ τίμιος Ἀρχέλεω.* Plinius N. H. 31, 19: *in Macedonia non procul Euripidis poetae sepulcro duo rivi confluunt, alter saluberrimi potus, alter mortiferi.* Vitruvius 8, 3: *non minus in Macedonia quo loci sepultus est Euripides dextra ac sinistra monumenti advenientes duo rivi concurrunt in unum, e quibus ad unum accumbentes viatores pransitare solent propter aquae bonitatem, ad rivum autem qui est ex altera parte monumenti nemo accedit, quia mortiferam aquam dicitur habere.* discrepat Suidas v. *Εὐριπίδης: καὶ τὰ ὀστᾶ αὐτοῦ ἐν Πέλλῃ μετακομίσαι τὸν βασιλέα.* cf. Wesselingius Itiner. p. 605. ficta narrare videtur Gellius 15, 20, 10: *sepulcrum autem eius et memoriam Macedones eo dignati sunt honore, ut in gloriae quoque loco praedicarent, οὔποτε σὸν μνῆμα, Εὐρίπιδες, ὄλοιτό που, quod egregius poeta morte obitus sepultus in eorum terra foret.* ubi Graeca verba corrupta sunt; expectes *οὔποτε δὴ σὸν μνῆμ', Εὐριπίδη, οὔποτ' ὀλεῖται.*

33) Cf. vita Eur. vs. 37, item Anth. Pal. 7, 45 (ubi *Θουκυδίδου* epigramma inscribitur) et Bergkii Lyr. p. 472 ed. alt. Pausan. 1, 2, 2: *ἀνιόντων δὲ ἐκ Πειραιῶς ἐρείπια τῶν τειχῶν ἔστιν, ἃ Κόνων ὕστερον τῆς πρὸς Κνίδῳ ναυμαχίας ἀνέστησεν — εἰσὶ δὲ τάφοι κατὰ τὴν ὁδὸν γνωριμώτατοι Μενάνδρου τοῦ Διοπείθους καὶ μνῆμα Εὐριπίδου κενόν.*

34) Plut. V. Lycurgi c. 31: *λέγεται δὲ καὶ τῶν λειψάνων αὐτοῦ* (Lycurgi) *κομισθέντων οἴκαδε κεραυνὸν εἰς τὸν τάφον κατασκῆψαι· τοῦτο δὲ οὐ ῥᾳδίως ἑτέρῳ τινὶ τῶν ἐπιφανῶν*

item alia sine dubio ficticia produntur de documentis quibus debitum poetae honorem aequales ostenderint[35]. maxime vero posteri ingenium et artem eius admirati sunt, adeo ut praeter Homerum nullus extiterit poeta, qui tanta floreret apud populares gratia et auctoritate.

Moribus Euripides fuit castis et severis, atque ipsi faciei eius tristitia quaedam inerat et austeritas[36], quam cum gravitate coniunctam in imaginibus poetae etiam nunc agnoscimus[37].

De fabularum Euripidearum numero testes nostri dissentiunt nec possunt satis certa afferri. septuaginta quinque dramata computavit Varro, alii nonaginta duo vel

---

πλὴν Εὐριπίδῃ συμπεσεῖν ὕστερον τελευτήσαντι. Bianor Anth. Pal. 7, 49: *τρὶς γὰρ ἐπαστράψας, Εὐριπίδη, ἐκ Διὸς αἰθὴρ ἥγνισε τὰν θνατὰν σήματος ἱστορίαν.* probabilitate destitutum est quod vita Eur. vs. 44 habet, *φασὶ δὲ καὶ κεραυνωθῆναι ἀμφότερα μνημεῖα.*

35) Huc spectat quod Sophocles atque ipse Atheniensium populus luxisse poetam in theatro dicuntur, Vit. Eur. vs. 44. item quae Gellius 15, 20, 10 habet: *cum legati ad eos* (Macedones) *ab Atheniensibus missi petissent ut ossa Athenas illius patriam permitterent transferri, maximo consensu Macedones in ea re deneganda perstiterunt.*

36) Noti sunt Aristophanis versus a Gellio 15, 20, 8 proditi: *ὁ δ' Ἀναξαγόρου τρόφιμος χαιοῦ στρυφνὸς μὲν ἔμοιγε προσειπεῖν καὶ μισόγελως καὶ τωθάζειν οὐδὲ παρ' οἶνον μεμαθηκώς.* Vita Eur. vs. 64: *σκυθρωπὸς δὲ καὶ σύννους καὶ αὐστηρὸς ἐφαίνετο καὶ μισόγελως καὶ μισογύνης.* Suidas: *σκυθρωπὸς δὲ ἦν τὸ ἦθος καὶ ἀμειδὴς καὶ φεύγων τὰς συνουσίας.* alia quaedam de eius facie et habitu tradit Vita vs. 25: *ἐλέγετο δὲ καὶ βαθὺν πώγωνα θρέψαι καὶ ἐπὶ τῆς ὄψεως φακοὺς ἐσχηκέναι.* Aristophanes Thesm. 190 Euripidem dicentem facit: *πολιός εἰμι καὶ πώγων' ἔχω.*

37) Inprimis vide Viscontii Iconogr. Gr. tom. 1 tab. 5 et anaglyphum quo Euripides in sella sedens repraesentatur marmoris Albani (C. I I. 6047), de quo Winckelmannus Monum. ined. 168. has imagines probabile est ex vetustis exemplis derivatas esse: certe statuas Sophoclis et Euripidis Athenis in theatro collocatas fuisse testantur Pausanias 1, 21, 1 et Ath. I p. 19 E, non testantur Lycurgum oratorem impetrasse id quod rogaverat, ut trium principum tragicorum statuae aeneae in theatro ponerentur. cf. Meieri Comm. de vita Lycurgi p. XXXVI sq.

adeo nonaginta octo[38]. quorum numerorum is quem tertio loco attulimus scribendi vitio deberi videtur: XCII fabulas qui numerarunt, didascaliarum fidem secuti sunt, in quibus XXIII tetralogias consignatas reppererunt. in didascalias vero, ut recte iudicat Elmsleius, vix aliae fabulae relatae erant quam quae unum de tribus praemiis obtinuissent. itaque si quando Euripides ne tertium quidem praemium consecutus sit, id quod accidisse ei probabile putamus, plus nonaginta duas fabulas ab eo compositas fuisse necesse est. quarum fabularum non nullae, velut *Θερισταί*, ne Alexandrinis quidem grammaticis innotuerunt. nobis octoginta circiter tituli proditi sunt, quorum conspectum subicimus.

Αἰγεύς
Αἴολος
Ἀλέξανδρος
ΑΛΚΗΣΤΙΣ
5 *Ἀλκμέων ὁ διὰ Κορίνθου*
Ἀλκμέων ὁ διὰ Ψωφῖδος
Ἀλκμήνη
Ἀλόπη
ΑΝΔΡΟΜΑΧΗ
10 *Ἀνδρομέδα*
Ἀντιγόνη
Ἀντιόπη
Ἀρχέλαος
Αὔγη
15 *Αὐτόλυκος*
ΒΑΚΧΑΙ
Βελλεροφόντης
Βούσιρις
Δανάη
20 *Δίκτυς*
ΕΚ..ΒΗ
ΕΛΕΝΗ
Ἐπειός
Ἐρεχθεύς
25 *Εὐρυσθεύς*
ΗΛΕΚΤΡΑ
ΗΡΑΚΛΕΙΔΑΙ
ΗΡΑΚΛΗΣ ΜΑΙΝΟΜΕΝΟΣ
Θερισταί
30 *Θησεύς*
Θυέστης
ΙΚΕΤΙΔΕΣ
Ἰνώ
Ἰξίων
35 *Ἱππόλυτος καλυπτόμενος*
ΙΠΠΟΛΥΤΟΣ ΣΤΕΦΑΝΙΑΣ
ΙΦΙΓΕΝΕΙΑ Η ΕΝ ΑΥΛΙΔΙ
ΙΦΙΓΕΝΕΙΑ Η ΕΝ ΤΑΥΡΟΙΣ
ΙΩΝ
40 *Κάδμος*
Κρεσφόντης
Κρῆσσαι
Κρῆτες
ΚΥΚΛΩΨ

---

38) Gellii locum 17, 4, 3 supra not. 20 attuli. Suidas v. *Εὐριπίδης: δράματα δὲ αὐτοῦ κατὰ μέν τινας οε΄, κατὰ δὲ ἄλλους ἐνενήκοντα δύο· σώζονται δὲ οζ΄.* Vita Eur. vs. 32: *τὰ πάντα δ' ἦν αὐτῷ δράματα ϟβ΄* (*ϟη΄* codex B), *σώζεται δὲ οη΄. τούτων νοθεύεται τρία, Τέννης Ῥαδάμανθυς Πειρίθους.* Vita vs. 128: *τὰ πάντα δ' ἦν αὐτῷ δράματα ϟη΄· σώζεται δὲ αὐτοῦ δράματα ξζ΄ καὶ γ΄ πρὸς τούτοις τὰ ἀντιλεγόμενα· σατυρικὰ δὲ η΄. ἀντιλέγεται δὲ καὶ τούτων τὸ α΄.*

45 *Λάμια*
Λικύμνιος
Μελανίππη ἡ δεσμῶτις
Μελανίππη ἡ σοφή
Μελέαγρος
50 *ΜΗΔΕΙΑ*
Οἰδίπους
Οἰνεύς
Οἰνόμαος
ΟΡΕΣΤΗΣ
55 *Παλαμήδης*
Πειρίθους
Πελιάδες
Πηλεύς
Πλεισθένης
60 *Πολύιδος*
Πρωτεσίλαος
Ῥαδάμανθυς
ΡΗΣΟΣ
Σθενέβοια
65 *Σίσυφος*
Σκείρων
Σκύριαι
Συλεύς
Τέννης
70 *Τήλεφος*
Τημενίδαι
Τήμενος
ΤΡΩΙΑΔΕΣ
Ὑψιπύλη
75 *Φαέθων*
Φιλοκτήτης
Φοῖνιξ
ΦΟΙΝΙΣΣΑΙ
Φρῖξος πρότερος
80 *Φρῖξος δεύτερος*
Χρύσιππος

